1436. *ἦ τις* Schutz. Butler. quod minime probo.

ἔρις ἐρίδματος, ἀνδρὸς οἰζύς.
ΚΛ. μηδὲν θανάτου μοῖραν ἐπεύχου, στρ. δ΄.
τοῖσδε βαρυνθείς·
μηδ᾽ εἰς Ἑλένην κότον ἐκτρέψῃς,
ὡς ἀνδρολέτειρ᾽, ὡς μία πολλῶν
ἀνδρῶν ψυχὰς Δαναῶν ὀλέσασ᾽,
ἀξύστατον ἄλγος ἔπραξεν.
ΗΜ. δαῖμον, ὃ ἐμπίτνεις δώμασι καὶ διφυ- ἀντ. ά.
εῖσι Ταντάλίδαισιν,
κράτος τ᾽ ἰσόψυχον ἐκ γυναικῶν
καρδιόδηκτον ἐμοὶ κρατύνεις.
ἐπὶ δὲ σώματος, δίκαν
μοὶ κόρακος ἐχθροῦ, σταθεῖσ᾽ ἐκνόμως
ὕμνον ὑμνεῖν ἐπεύχεται * *

1437. *ἐρίδματος* explicari potest *a contentione ædificata*, i. e. rixa rixam parit: sed malim legere cum Scaligero *ἐριδμαντός*, ab *ἐριδμαίνω*, *irrito*. Homer. Il. Π. 259. *ὀϊζύς* edd. ante Porson. Vide supra v. 731.

1440. *ἐκτρέχῃς* Flor.

1442. *ὀλέσασα* Steph. *ὄλεσαν* Flor.

1444. *ἐμπίπτεις* Steph. *ἐμπίτνεις* Canter. Porson. *ἐμπιτνεῖς* Hermann. Idem legit *διφυίοισι*. Etymol. M. p. 254, 14. *δεκαφύϊα, τὰ δεκαπλάσια. Καλλίμαχος, Τῶν ἔτι σοι δεκαφύϊα (δεκαφυῖα) φάτο ζωάγρια τίσειν* (Fr. CLXII).

1445. *Ταντάλίδεσιν* Flor.

1446. *κράτος ἰσόψυχον* edd. *γ᾽* interseri voluit Pauw. *δ᾽* Pearson. Voss. Bothe. *τ᾽* Hermann. *ἐκ* omisit Porson.

1447. *καρδίᾳ δηκτὸν* edd. vet. *καρδιόδηκτον* Abresch. Schutz. Porson. Mox *κρατύνοις* Porson. nescio an operarum incuria.

1449. *σταθεὶς* edd. vet. *σταθεῖσ᾽* Schutz. Porson. Stanl. in curis secundis. Dein *ἐννόμως* Venet. Flor. *ἔκνομον* Voss.

1450. *ἐπεύχεαι* conjecit Canter. Si *βίον* sit in stropha retinendum,

ΧΟ. * * * * * * ἀντ. β′.
* * * * * *
* * * * * *
* * * * * *

ΗΜ. * * * ἀντ. γ′.
* * * *
* * *
* * * * *
* * * * * *

ΚΛ. νῦν δ' ὤρθωσας στόματος γνώμην, ἀντ. δ′.
τὸν τριπάχυιον
δαίμονα γέννας τῆσδε κικλήσκων·
ἐκ τοῦ γὰρ ἔρως αἱματόλοιχος
νείρῃ τρέφεται· πρὶν καταλῆξαι
τὸ παλαιὸν ἄχος, νέος ἴχωρ.
ΗΜ. ἦ μέγαν οἴκοις τοῖσδε στρ. ε′.

hic excidit vox disyllaba; forsan δόμοις, quam suppleri posse monuit Butlerus.

1451. νῦν γ' G. ad marg. Ask.

1452. Quia πῆχυς primam producit, Pauwius et Butlerus conjiciunt τρίσπαχυν. Sed ridiculum quid sonat Genius *tricubitalis*, nam hoc valet τρίσπαχυς, quæ est potius *nasi* mensura, ῥῖνα τρίπηχυν ἔχεις. Deus esset ad minimum τρισκαιδεκάπηχυς. Si verum est τριπάχυιον, ex alia origine repetendum est, nempe a παχύς. Sed nescio an legendum τριπάλαιον, qui ab abavo familiæ adhæsit. Phrynich. App. Soph. p. 64. τριπάλαια. τὰ πάνυ παλαιά.

1453. γέννης$^{\text{ας}}$ (sic) Flor.

1455. νείρει edd. vet. et Porson. νείρῃ Casaub. Stanleius in notis, probante Alberti ad Hesych. v. Νειρόν. Scaliger ad oram codicis sui νείκει. Is. Vossius ἦρι. Mox καταστῆξαι Musgr.

1456. ἄγος Casaub. Stanl. in notis, Schutz.

1457. τοῖσδ' αἵμονα Hermannus, ut hic versus congruat cum stro-

δαίμονα καὶ βαρύμηνιν αἰνεῖς,
φεῦ, φεῦ, κακὸν αἶνον ἀτη-
ρᾶς τύχας ἀκορέστου.
ἰώ, ἰή, διαὶ Διὸς
παναιτίου, πανεργέτα·
τί γάρ βροτοῖς ἄνευ Διὸς
τελεῖται; τί τῶνδ'
οὐ θεόκραντόν ἐστιν;

ΧΟ. ἰώ, ἰώ. στρ. ϛʹ.
βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.

ΗΜ. ὤ μοι, μοί, κοίταν τάνδ' ἀνελεύθερον, στρ. ζʹ.
δολίῳ μόρῳ δαμεὶς

phico ὡς μὲν ἀναίτιος εἶ. Adjectivo αἴμων utitur Eurip. Hec. 90. sed displicent tria epitheta sine substantivo; ideoque in antistrophico, Schutzium secutus, adjeci σύ.

1462. πανεργέταν Flor.

1463. τί δὲ βροτοῖς Burneius. Sed vid. 1488.

1466. ἰώ semel tantum Venet. Flor. hic et in v. 1491.

1468. τί ποτ' ἄρ' εἴπω Triclin. et mox ἐκπνείων, nempe ut catalexin vitaret.

1470. εὐσεβεῖ Flor. Eurip. Helen. 141. Σφαγαῖς ἀδελφῆς οὕνεκ' ἐκπνεῦσαι βίον.

1471. ὤ μοι μοι κοίταν τάνδ' ἀνελεύθερον per parenthesin interjecta esse monet Butlerus, qui tamen conjicit κοίτας τᾶσδ' ἀνελευθέρας (—ρου). Sed legendum puto κοιτῶν τῶνδ' (κοιτᾶν τᾶνδ') ἀνελευθέρων.—ἀνελευθέρα adverbialiter, T.

1472. Forte legendum δουλίῳ. Vid. 1501.

ἐκ χερὸς ἀμφιτόμῳ βελέμνῳ.

ΚΛ. αὐχεῖς εἶναι τόδε τοὖργον ἐμόν. στρ. ή.
μὴ δ' ἐπιλεχθῇς
* * * * * *
Ἀγαμεμνονίαν εἶναί μ' ἄλοχον.
φανταζόμενος δὲ γυναικὶ νεκροῦ
τοῦδ', ὁ παλαιὸς δριμὺς ἀλάστωρ
Ἀτρέως, χαλεποῦ θοινατῆρος,
τόνδ' ἀπέτισεν, * * * *
τέλεον νεαροῖς ἐπιθύσας.

ΗΜ. ὡς μὲν ἀναίτιος εἶ σὺ
τοῦδε φόνου τίς μαρτυρήσων;
πῶς; πῶς; πατρόθεν δὲ συλλή-
πτωρ γένοιτ' ἂν ἀλάστωρ.
βιάζεται δ' ὁμοσπόροις

1475. ἐπιλεχθῇς Steph. Canter. ἐπιλέξῃς vel ἐπιλεχθῇς Voss. ἐπιλεχθεὶς Scalig. Aliquid deesse suspicatus est Pauwius; et sic Butlerus, "ut accurate respondeat hic numerus versiculorum iis qui sequuntur Antistropham. Quin et in ὡς μὲν ἀναίτιος εἶ τοῦδε φόνου videtur Chorus ad ipsa Clytæmnestræ verba alludere." Hactenus Vir eruditus, cui libentissime accedo.

1480. Dipodiam desiderari putat Butlerus.

1481. νεκροῖς conj. Stanleius et sic T. Sed vere observavit Butlerus τέλεον et νεαροῖς inter se opponi, Agamemnona *adultum*, (non Pelopi, quod putat V. D. sed) Thyestæ filiis *impuberibus*.

1482. ὡς μὲν ἀναίτιος εἶ edd. vet. ἀναίτιος ἦσθα Pauwius. ἀναίτιος εἶ σὺ Schutz. Butler.

1484. πῶ, πῶ; edd. πῶς, πῶς; marg. Ask. probante Butlero.

1486. στάζεται Auratus. θειάζεται Musgrav. citato Hesych. Θειασμοῦ εὐωχίας.

ἐπιῤῥοαῖσιν αἱμάτων
μέλεος Ἄρης· ὅποι δὲ καὶ
προβαίνων πάχνᾳ
κουροβόρῳ παρέξει.

ΧΟ. ἰώ, ἰώ, ἀντ. ϛʹ.
βασιλεῦ, βασιλεῦ, πῶς σε δακρύσω;
φρενὸς ἐκ φιλίας τί ποτ' εἴπω;
κεῖσαι δ' ἀράχνης ἐν ὑφάσματι τῷδ'
ἀσεβεῖ θανάτῳ βίον ἐκπνέων.

ΗΜ. ὤ μοι, μοί, κοίταν τάνδ' ἀνελεύθερον, ἀντ. ζʹ.
δολίῳ μόρῳ δαμεὶς
ἀμφιτόμῳ βελέμνῳ.

ΚΛ. οὐκ ἀνελεύθερον οἶμαι θάνατον ἀντ. ηʹ.
τῷδε γενέσθαι.
οὐδὲ γὰρ οὗτος δούλιον ἄτην

1488. *μέλας Ἄρης* edd. *μέλεος* Botheus, quod cum Butlero recipiendum judicavi. Si retinendum sit *μέλας*, scribi debebit in strophico *τί δὲ βροτοῖς*.

Ibid. *ὅποι γε* Heath. *ὅς γε* Marg. Ask. *ὅ τοι δὲ* Pearson. Stanl *ὅπιν —προβάντων—πάρεσχε*. Musgrav. ut sint *προβάντες proavi*. Idem conjicit *προγεννῶν*. Dubitanter conjicit Butlerus *ὅ τοι δίκην προβαίνων πάχνας κουροβόρου παρέξει*. Locus vero medicam manum etiamnum exspectat. *προσβαίνων* Steph. Venet. Flor.

1489. *πάχνα* edd. *πάχναν κουροβόρον* Aurat. Casaub. *πάχναν κουροβόρῳ* Pauw. Bothe. *πάχνᾳ* Hermann. *προσέξει* Aurat. cui accedit Canter.

1499. *οὔτ' ἀνελεύθερον* edd. pleræque. *οὐκ* Schutz. Butler. Hos duo versus ab Æschylo non profectos esse censet Seidlerus.

1501. *ἄταν* edd. *ἄτην* T. *δούλιον* præclara Dobræi emendatio est

οἴκοισιν ἔθηκ'· ἀλλ' ἐμὸν ἐκ τοῦδ'
ἔρνος ἀερθέν, τὴν πολυκλαύτην
Ἰφιγένειαν ἀνάξια δράσας,
ἄξια πάσχων, μηδὲν ἐν Ἅιδου
μεγαλαυχείτω, ξιφοδηλήτῳ
θανάτῳ τίσας ἅπερ ἦρξεν.

ΗΜ. ἀμηχανῶ, φροντίδων στερηθείς, στρ. θ'.
εὐπάλαμον μέριμναν
ὅπα τράπωμαι, πιτνόντος οἴκου.

pro *δολίαν*. Vid. 1471. 1492. Choeph. 74. *ἐκ γὰρ οἴκων πατρῴων δουλίαν ἐσᾶγον αἶσαν.*

1502. Interrogationis notam primus adposuit Schutzius; de qua tamen dubito, ob particulam adversativam *ἀλλά*.

1503. *πολύκλαυτόν τ'* edd. *πολυκλαύτην* Porson. ad Med. 822. Elmsleius putat *Ἰφιγένειαν* e margine irrepsisse. Hermannus hunc in modum scribit, *ἔρνος ἀερθὲν τῆς πολυκλαύτης Ἰφιγενείας ἄξια δράσας, ἄξια πάσχων.* i. e. *ἄξια ἀξίων δραμάτων πάσχων.*

1508. *φροντίδος* Venet. Flor, quod nescio an melius sit.

1509. *εὐπάλαμνον* libri veteres. *εὐπάλαμον* Pors.

1510. *ὅποι* Elmsleius ad Heraclid. 595. ut opinor, citra necessitatem. *ὅποι* est *quonam, whither*, *ὅπα* est *quanam, which way*. Plato Parmen. p. 135. C. quum supra dixisset, *οὐδὲ ὅποι τρέψει τὴν διάνοιαν ἕξει*, mox subjungit, *τί οὖν ποιήσεις φιλοσοφίας πέρι; πῆ τρέψῃ, ἀγνοουμένων τούτων;* ubi jure nihil mutavit Heindorfius. Distinctionem quam inter *ποῖ* et *πῆ* statuit Hermannus ad Herc. Fur. 1236. non intelligo. Quod vero dixit Porsonus ad Hecub. 1070. *πᾶ* et *quietem* et *motum* significare, utinam etiam probasset. Omnino notent tirones *πῇ* dativum esse pronominis obsoleti *πός*, sicut *ᾗ* pronominis *ὅς*, et cum *ὁδῷ* subaudito concordare. *ποῖ* vero ejusdem pronominis est dativus, genere masculino. Sic apud Latinos *quo, qua*. A *πός* formatur adverbium *πόσε*, Iliad. II. 422. ut ab *οἶκος*, *οἴκοσε* &c. non autem a *ποῦ*, quod ait Apollonius de Adv. p. 607, 23. Quæ de his adverbiis protulit Burneius (*Monthly Review, April,*

δέδοικα δ᾽ ὄμβρου κτύπον δομοσφαλῆ
τὸν αἱματηρόν· ψεκὰς δὲ λήγει.
δίκην δ᾽ ἐπ᾽ ἄλλο πρᾶγμα θηγάνει βλάβης
πρὸς ἄλλαις θηγάναισι Μοῖρα.

ΧΟ. ἰώ, γᾶ, γᾶ, στρ. ί.
εἴθ᾽ ἔμ᾽ ἐδέξω, πρὶν τόνδ᾽ ἐσιδεῖν
ἀργυροτοίχου
δροίτας κατέχοντα χαμεύναν.
τίς ὁ θάψων νιν, τίς ὁ θρηνήσων;
ἦ σὺ τάδ᾽ ἔρξαι
τλήσει, κτείνασ᾽ ἄνδρα τὸν αὑτῆς,
ἀποκωκῦσαι ψυχήν, ἄχαριν

1799. p. 439.) docta sunt, sed non satis enucleata.

Ibid. πίτνοντος. Forte legendum πιτνόντος in aoristo.

1512. Vulgatur ψεκάς. Moeris, ψακάς, Ἀττικῶς. ψεκάς, Ἑλληνικῶς. Supra 1360. libri omnes ψακάς. Phrynichus App. Soph. p. 73. ψακάζειν, διὰ τοῦ ᾱ, οὐ διὰ τοῦ ε̄. Cf. Eustath. p. 1071, 9. Sophocles dixit ψακαλοῦχοι μητέρες, in fragm. ap. Eustath. p. 1625, 49. sed ψεκάδος in Tympanist. fr. 1. ψακὰς Aristoph. Pac. 120. Fieri potest ut hoc recentioris Atticismi fuerit, ψεκάς vero vetustioris.

1513. δίκη edd. vet. δικῇ T. Aurato δίκην reponenti assentiuntur Canter. Pauw. Schutz. Butler. Hermann. Mox θήγανει pro θήγει Hermanno debetur. Eumen. 857. μήθ᾽ αἱματηρὰς θηγάνας, σπλάγχνων βλαβὰς Νέων—. Musgravius conjicit Δίκη—θηγάναις μάχαιραν.

1514. θηγάναις edd. ante Pauw. μοίρας marg. Ask.

1516. εἴθε μ᾽ ἐδέξω—ἐπιδεῖν T.

1518. δροίτας νῦν κατέχοντα libri plerique. νῦν, uncinis a Porsono inclusum, ejecit Schutz. et sic Venet. Flor.

1520. τόδ᾽ T.

1521. αὐτῆς edd αὑτῆς T.

1522. ἀποκωκύσαι edd. omnes. ἀποκωκῦσαι T. Choeph. 42. de re

χάριν ἀντ' ἔργων
μεγάλων ἀδίκως ἐπικρᾶναι;

ΗΜ. τίς δ' ἐπιτύμβιον αἶνον ἐπ' ἀνδρὶ θείῳ στρ. κ'.
ξὺν δακρύοις ἰάπτων
ἀληθείᾳ φρενῶν πονήσει;

ΚΛ. οὐ σὲ προσήκει τὸ μέλημα λέγειν στρ. λ'.
τοῦτο· πρὸς ἡμῶν
κάππεσε, κάτθανε, καὶ καταθάψομεν,
οὐχ ὑπὸ κλαυθμῶν τῶν ἐξ οἴκων,
* * * * * *
* * * * * *
ἀλλ' Ἰφιγένειά νιν ἀσπασίως
θυγατήρ, ὡς χρή,
πατέρ' ἀντιάσασα πρὸς ὠκύπορον
πόρθμευμ' ἀχέων,
περὶ χεῖρε βαλοῦσα φιλήσει.

simili, *τοιάνδε χάριν ἄχαριν—μωμένα μ' ἰάλλει δύσθεος γυνά.*

1524. *μεγάλως ἀδίκων* conj. Pauw.

1525. *ἐπιτύμβιος αἶνος* edd. præter Schutz. qui accusativum ex Stanleii (Vossii) correctione adsumsit. Sic Butler.

1526. *δακρύοιν* edd. vet. *δάκρυσιν* Porson. Schutz. *δακρύοις* Butlerus, et sic T. Mox *φρενός* Is. Voss.

1528. *οὔτε προσήκει* T. dein *μέλειν* Aurat.

1530. *Dele κάππεσε, κατθανε, et subaudi ἔστι.* R. P. Cave facias.

1532. Ἰφιγένειαν· ἴν' Steph. Canter. Emendavit Stanleius.

1536. *χεῖρα* in *χεῖρε* mutavit Porsonus. Eurip. Suppl. 273. *βᾶθι, καὶ ἀντίασον, γονάτων ἔπι χεῖρα βαλοῦσα.* quod recte quidem dicitur cum præpositione *ἐπί*. sed *περὶ* pluralem vel dualem postulat.

ΗΜ. ὄνειδος ἥκει τόδ' ἀντ' ὀνείδους· ἀντ. θʹ.
δύσμαχα δ' ἔστι κρῖναι.
φέρει φέροντ', ἐκτίνει δ' ὁ καίνων.
μίμνει δὲ μίμνοντος ἐν χρόνῳ Διὸς,
παθεῖν τὸν ἔρξαντα· θέσμιον γὰρ
τίς ἂν γονὰν ἀραῖον ἐκβάλοι δόμων;
κεκόλληται γένος πρὸς ἄτᾳ.

[ΧΟ. ἰώ, γᾶ, γᾶ, ἀντ. ιʹ.
εἴθ' ἔμ' ἐδέξω, πρὶν τόνδ' ἐσιδεῖν
ἀργυροτοίχου
δροίτας κατέχοντα χαμεύναν.

Androm. 115. πρὸς τόδ' ἄγαλμα θεᾶς ἱκέτις περὶ χεῖρε βαλοῦσα. Mox φιλήσῃ Steph. Canter. Stanl. Correxit Abresch.

1539. φθείρει φθείροντ' Voss. dein ἐκάνη δ' ὁ κ. Aurat.

1540. Interpretes minus recte agunt, quum conjungunt μίμνοντος ἐν χρόνῳ Διός. Constructio est μίμνει δέ, μίμνοντος Διός, ἐν χρόνῳ παθεῖν τὸν ἔρξαντα. (quod monuit etiam Musgr.)

1542. ἀραῖον præclara est emendatio Hermanni, pro ῥᾷον, in quo explicando frustra desudant interpretes.

1543. προσάψαι edd. pleræque. προσάψει Schutz. πρὸς ἄψη Hermann. Auctoris manum exhibui, una tantum lineola abjecta, ΠΡΟϹΑΤΑΙ pro ΠΡΟϹΑ+ΑΙ. Eurip. Med. 553. εὐτυχέστερον]. "εὐψυχέστερον L. Error ortus ex similitudine literarum T. et Ψ. minus distincte pictarum; aut si ita scribuntur, ut sæpe fit in MSS. ⊤ + et superior linea in + evanescit, facile cum ⊤ commutatur." R. P. De eadem re disputantem vide Schaefer. Melet. Crit. pp. 46. 117. et cf. Markland. ad Suppl. 622. Toup. ad Longin. p. 290. Luzac. Ex. Acad. p. 41. Bast. Comment. Palæogr. p. 739. In Callimachi fr. 292. pro ἔλλετε Eustathius p. 756, 37. habet ἔλλεψε.

1544. Antistrophæ ιʹ et κʹ quæ in libris desunt, ex Burneii monitu inserendæ videntur. Sic omnia recte et ad eorum quæ præiverant modulum procedunt.

τίς ὁ θάψων νιν, τίς ὁ θρηνήσων;
ἦ σὺ τάδ᾽ ἔρξαι
τλήσει, κτείνασ᾽ ἄνδρα τὸν αὑτῆς,
ἀποκωκῦσαι ψυχήν, ἄχαριν
χάριν ἀντ᾽ ἔργων ἐπικρᾶναι;

ΗΜ. τίς δ᾽ ἐπιτύμβιον αἶνον ἐπ᾽ ἀνδρὶ θείῳ ἀντ. κ΄.
ξὺν δακρύοις ἰάπτων
ἀληθείᾳ φρενῶν πονήσει;]

ΚΛ. εἰς τόνδ᾽ ἐνέβη ξὺν ἀληθείᾳ ἀντ. λ΄.
χρησμόν· ἐγὼ δ᾽ οὖν
ἐθέλω, δαίμονι τῷ Πλεισθενιδᾶν
ὅρκους θεμένη, τάδε μὲν στέργειν,
δύστλητά περ ὄνθ᾽· ὃ δὲ λοιπόν, ἰόντ᾽
ἐκ τῶνδε δόμων ἄλλην γενεὰν
τρίβειν θανάτοις αὐθένταισιν.
κτεάνων τε μέρος
βαιὸν ἐχούσῃ πᾶν ἀπόχρη μοι,

1556. *ἐνέβης* conjecit Canter. quod recipiendum putant Heathius, Musgravius et Hermannus. Tunc autem *χρησμόν* verterim *dictum hoc propheticum sc. μίμνει παθεῖν τὸν ἔρξαντα.* vel *κεκόλληται γένος πρὸς ἄτᾳ.*

1557. *χρησμός* Casaub. Stanl. Schutz. *In maritum meum vere cecidit oraculum.*

1559. *θεμένα* edd. *θεμένη* Flor. et mox *δύπλητα.*

1560. *ὁ δὲ* edd. vet. *ὃ δὲ* Is. Voss. Stanl. Pauw. Porson. Schutz.

1561. *ἄλλῃ* Voss.

1562. *τρίβοι* Pearson. Is. Voss. Hunc versum omittit T.

1563. *κτεάνων δὲ* Voss.

κἀλληλοφόνους
μανίας μελάθρων ἀφελούσῃ.

ΑΙΓΙΣΘΟΣ.

ὦ φέγγος εὖφρον ἡμέρας δικηφόρου·
φαίην ἂν ἤδη νῦν βροτῶν τιμαόρους
θεοὺς ἄνωθεν γῆς ἐποπτεύειν ἄγη,
ἰδὼν ὑφαντοῖς ἐν πέπλοις Ἐρινύων
τὸν ἄνδρα τόνδε κείμενον φίλως ἐμοί,
χειρὸς πατρῴας ἐκτινόντα μηχανάς.
Ἀτρεὺς γὰρ ἄρχων τῆσδε γῆς, τούτου πατήρ,
πατέρα Θυέστην τὸν ἐμόν, ὡς τορῶς φράσαι,
αὑτοῦ τ᾽ ἀδελφόν, ἀμφίλεκτος ὢν κράτει,
ἠνδρηλάτησεν ἐκ πόλεώς τε καὶ δόμων.
καὶ προστρόπαιος ἑστίας μολὼν πάλιν
τλήμων Θυέστης, μοῖραν εὕρετ᾽ ἀσφαλῆ,
τὸ μὴ θανὼν πατρῷον αἱμάξαι πέδον
αὐτός· ξένια δὲ τοῦδε δύσθεος πατὴρ

1565. Canteri emendatio pro δ' ἀλληλοφόνους, Porsono recepta. Sed μοί γ' ἀλληλοφόνους Pauw. Heath. Schutz. Butler. Atqui particulæ τε in v. 1561. hic respondet καί. Manum infeliciter admovit Erfurdtius in Soph. Phil. 475.

1569. ἄχη Steph. T. ἄγη Auratus, Canter. et recentiores.

1572. χερὸς edd. χειρὸς T. ἐκτινόντα aor. 2. Schutz. post Stanleium.

1577. ἑστίαν Aurat. Casaub.

1578. ἦρετ' Aurat.

1579. Post πέδον plene interpungit Hermannus.

1580. αὐτοῦ edd. αὑτοῦ δ' Elmsleius ad Eurip. Med. p. 226. ἀστοξένια Hermann.

Ἀτρεύς, προθύμως μᾶλλον ἢ φίλως, πατρὶ
τῷ 'μῷ, κρεουργὸν ἦμαρ εὐθύμως ἄγειν
δοκῶν, παρέσχε δαῖτα παιδείων κρεῶν.
τὰ μὲν ποδήρη καὶ χερῶν ἄκρους κτένας
ἔθρυπτ' † ἄνωθεν ἀνδρακὰς καθήμενος.
ἄσημα δ' αὐτῶν αὐτίκ' ἀγνοίᾳ λαβών,
ἔσθει βορὰν ἄσωτον, ὡς ὁρᾷς, γένει.
κἄπειτ' ἐπιγνοὺς ἔργον οὐ καταίσιον,
ᾤμωξεν, ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν·
μόρον δ' ἄφερτον Πελοπίδαις ἐπεύχεται,
λάκτισμα δείπνου ξυνδίκως τιθεὶς ἀρᾷ,

1583. *παιδίων* edd. vet. *παιδείων* Flor. T. Scalig. Abresch. Schutz. Pors.

1585. *ἔκρυπτ' ἄνω θεὶς ἀνδρακὰς καθημένοις* Casaub. Pearson. et sic Schutz. nisi quod *ἄνωθεν* retinet *ἄνωθεν ἄνθρακος* conj. in libro Raulins. *εὔθρυπτ' ἄνωθεν* Hermann. Quid sit *ἄνωθεν* non satis intelligo. Legendum suspicor *ἔκρυπτ' ἄνευθεν*, *seorsum*. quo sensu *ἄνευθεν* ab Homero usurpatur. Iliad. χ. 367. *ἦ ῥα καὶ ἐκ νεκροῖο Fερύσσατο χάλκεον ἔγχος, Καὶ τόγ' ἄνευθεν ἔθηκ'.* Hanc correctionem firmat Herodoti locus I. 119. *τοῖσι μὲν ἄλλοισι καὶ αὐτῷ Ἀστυάγεϊ παρετιθέατο τράπεζαι ἐπιπλέαι μηλείων κρεῶν· Ἁρπάγῳ δέ, τοῦ παιδὸς τοῦ ἑωυτοῦ, πλὴν κεφαλῆς τε καὶ ἄκρων χειρῶν τε καὶ ποδῶν, τἄλλα πάντα· ταῦτα δὲ χωρὶς ἔκειτο ἐπὶ κανέῳ κατακεκαλυμμένα.*

1586. *ἄσημα δ' αὐτὸς* conj. Pauw. vel *αὐτῶν αὐτός.* Heathius vero *αὐτῶν οὗτος.* Desiderari versiculum judicat Schutz.

1587. Pro *ὡς ὁρᾷς* Botheus conjicit *ὁ σπείρας·* quæ conjectura Butlero arridet. Sed fortius est vulgatum, *escam generi, uti videtis, exitiosam.*

1589. *ᾤμωξεν ἄν, πίπτει δ' ἀπὸ σφαγῆς ἐρῶν* Steph. *ἀμπίπτει δ' ὑποσφαγῆς ἐρῶν* conj. Canter. *ἀμπίπτει δ' ἀπὸ σφαγῆς ἐμῶν.* Stanl. Jacob. Is. Voss. Porson. Schutz. *ἐμῶν* etiam Aurat.

1591. *σιθεὶς ἐρᾷ* Venet.

οὕτως ὀλέσθαι πᾶν τὸ Πλεισθένους γένος.
ἐκ τῶνδέ σοι πεσόντα τόνδ' ἰδεῖν πάρα.
κἀγὼ δίκαιος τοῦδε τοῦ φόνου ῥαφεύς·
τρίτον γὰρ ὄντα μ' ἐπὶ δέκ' ἀθλίῳ πατρὶ
ξυνεξελαύνει τυτθὸν ὄντ' ἐν σπαργάνοις.
τραφέντα δ' αὖθις ἡ Δίκη κατήγαγε.
καὶ τοῦδε τἀνδρὸς ἡψάμην θυραῖος ὤν,
πᾶσαν ξυνάψας μηχανὴν δυσβουλίας.
οὕτω καλὸν δὴ καὶ τὸ κατθανεῖν ἐμοί,
ἰδόντα τοῦτον τῆς Δίκης ἐν ἕρκεσιν.

ΧΟ. Αἴγισθ', ὑβρίζειν ἐν κακοῖσιν οὐ σέβω.
σὺ δ' ἄνδρα τόνδε φῂς ἑκὼν κατακτανεῖν,
μόνος δ' ἐπακτὸν τόνδε βουλεῦσαι φόνον;
οὔ φημ' ἀλύξειν ἐν δίκῃ τὸ σὸν κάρα
δημοῤῥιφεῖς, σάφ' ἴσθι, λευσίμους ἀράς.

1592. *ὀλέσθη* edd. vet. *ὀλέσθαι* Porson. *ὀλίσθοι* Musgr.

1600. *καλὸν· ἐμοὶ κατθανεῖν—ἰδόντα.* De hac constructione vid. Elmsleium ad Heracl. p. 140. *ἰδόντι* T.

1602. *ἐν † κακοῖσιν* Pors. qui legebat *ἐν καμοῦσιν*. *ἐν θανοῦσιν* Abresch. ut in Sophocl. Aj. 1110. *μὴ—ἐν θανοῦσιν ὑβριστὴς γένῃ.* Stare tamen potest *κακοῖσιν*. Aj. 1107. *οὐδ' αὖ τοιαύτην γλῶσσαν ἐν κακοῖς φιλῶ.* 1140. *Ὃς ἐν κακοῖς ὕβριζε τοῖσι τῶν πέλας.* Sed forsan locus sic reddendus. *Insolentiam in ignavis non probo.* Eurip. Suppl. 463. *φεῦ, φεῦ, κακοῖσιν ὡς ὅταν δαίμων διδῷ Καλῶς, ὑβρίζουσ', ὡς ἀεὶ πράξοντες εὖ.*

1603. *τόνδ' ἔφης* edd. ante Pauw.

1604. *ἔποικτον* edd. quod vocabulum neque alibi exstat, neque hic exstitisse debuit. *ἐπακτὸν* Casaub. *ἑκὼν δ' ἐπακτὸν* Musgr. Interrogationis signum cum Botheo adpinxi.

ΑΙ. σὺ ταῦτα φωνεῖς νερτέρᾳ προσήμενος
κώπῃ, κρατούντων τῶν ἐπὶ ζυγῷ δορός;
γνώσει, γέρων ὤν, ὡς διδάσκεσθαι βαρὺ
τῷ τηλικούτῳ, σωφρονεῖν εἰρημένον.
δεσμὸς δέ, καὶ τὸ γῆρας, αἵ τε νήστιδες
δύαι, διδάσκειν ἐξοχώταται φρενῶν
ἰατρομάντεις. οὐχ ὁρᾷς ὁρῶν τάδε;
πρὸς κέντρα μὴ λάκτιζε, μὴ πταίσας μογῇς.
ΧΟ. γύναι, σὺ τοῦδ' ἥκοντος ἐκ μάχης νέον
οἰκουρὸς εὐνὴν ἀνδρὸς αἰσχύνουσ' ἅμα

1607. Vide annon hæc ῥῆσις ad Clytæmnestram pertineat.

1610. εἰρημένον edd. Hermannus ad Viger. p. 702. legit τὸ τηλικούτῳ σωφρονεῖν εἰρημένον, quod non intelligo; nec omnino simile est quod supra dixerat Clytæmnestra, γνώσει διδαχθεὶς ὀψέ γ' οὖν τὸ σωφρονεῖν. κεχρημένον conjicit Elmsleius ad Heracl. p. 143. Pers. 834. πρὸς ταῦτ' ἐκεῖνον σωφρονεῖν κεχρημένον Πινύσκετ' εὐλόγοισι νουθετήμασι. Sed vulgatum recte explicat Triclin. προσταγὲν αὐτῷ.

1611. δεσμὸν Venet. Flor. "Sensus est, ὁ δὲ δ. καὶ αἱ νη. δυ. ἐξοχ. διδ. καὶ τὸ γῆρας." Voss. *vel senectutem optime erudiunt.*

1614. πήσας edd. "*Schol. MS. Gotting. ad Pindar. Pyth.* II. *fin.* παίσας. *Lege* πταίσας." R. P. Sic etiam Butlerus.

1615. τοὺς ἥκοντας edd. vet. τοῦδ' ἥκοντος conjecit Stanleius, (post Auratum, qui τοῦ γ' ἥκοντος) probantibus Heath. Porson. Schutz. Mox displicet istud νέον.

1616. Comma post αἰσχύνουσ' ponunt Stanl. Pauw. Butler. Male omnino; ἅμα cum participio cohæret, Theb. 225. κλύουσα πατάγον—ἅμα ἱκόμαν. Herodot. I. 179. ὀρύσσοντες ἅμα τὴν τάφρον ἐπλίνθευον. Xenoph. Hell. VI. 2. 2. ἅμ' ἀποπλέων τοὺς φυγάδας ἀπεβίβασε. Anab. III. 3. 7. φεύγοντες ἅμα ἐτίτρωσκον. Ceterum duplex erat Clytæmnestræ facinus; mariti (ἀνδρὸς) lectum polluens, simul imperatori (ἀνδρὶ στρατηγῷ) necem instruxit. Certe ἀνδρὸς et ἀνδρὶ utrumque ad Agamemnona pertinent.

ἀνδρὶ στρατηγῷ τῷδ' ἐβούλευσας μόρον;
ΑΙ. καὶ ταῦτα τἄπη κλαυμάτων ἀρχηγενῆ.
Ὀρφεῖ δὲ γλῶσσαν τὴν ἐναντίαν ἔχεις.
ὁ μὲν γὰρ ἦγε πάντ' ἀπὸ φθογγῆς χαρᾷ,
σὺ δ' ἐξορίνας ἠπίους ὑλάγμασιν
ἄξει· κρατηθεὶς δ' ἡμερώτερος φανεῖ.
ΧΟ. ὡς δὴ σύ μοι τύραννος Ἀργείων ἔσει,
ὃς οὐκ, ἐπειδὴ τῷδ' ἐβούλευσας μόρον,
δρᾶσαι τόδ' ἔργον οὐκ ἔτλης αὐτοκτόνως;
ΑΙ. τὸ γὰρ δολῶσαι πρὸς γυναικὸς ἦν σαφῶς·
ἐγὼ δ' ὕποπτος ἐχθρὸς ἦ παλαιγενής.
ἐκ τῶν δὲ τοῦδε χρημάτων πειράσομαι
ἄρχειν πολιτῶν· τὸν δὲ μὴ πειθάνορα
ζεύξω βαρείαις οὔτι μοι σειραφόρον
κριθῶντα πῶλον· ἀλλ' ὁ δυσφιλὴς σκότῳ

1617. An legendum τῷδ', ut in v. 1624? [quod nunc reposui, quum Flor. exhibeat. τῶδ'.]

1621. ἠπίοις edd. pleræque. νηπίοις Jacob. Schutz. Butler. Sed præstat, ut opinor, ἐξορίνας ἠπίους. Scilicet Orpheus fera corda mansuefecit; tu vero etiam placida ingenia latratibus irritas.

1626. σαφὲς sine necessitate Heathius. σοφῆς Auratus, qui hunc versum Choro continuat.

1627. ἦν scribendum putavit Canter. ὧν Botheus et Butlerus. Nihil mutandum. De forma ἦ vid. Lex. Sophocl. in voce.

1628. ἐκ τῶνδε edd. vet. Correxit Jacob.

1629. ἄρχειν τὸ λοιπὸν Jos. Scalig. Pears.

1630. οὔτι μὴ σειρασφόρον edd. vet. οὔτι μοι Pauw. Porson. ὥστε μὴ Voss. Subaudiendum vel σείραις, cum Abresch. et Dorvill. ad Charit. p. 323. vel ἀνάγκαις, cum Elmsleio ad Heracl. 886. Pro σειρασφόρον recte MSS. Flor. T. σειραφόρον. vid. supra 815.

1631. κριθιῶντα Schutz. quæ

λιμὸς ξύνοικος μαλθακόν σφ' ἐπόψεται.
ΧΟ. τί δὴ τὸν ἄνδρα τόνδ' ἀπὸ ψυχῆς κακῆς
οὐκ αὐτὸς ἠνάριζες, ἀλλά νιν γυνή,
χώρας μίασμα καὶ θεῶν ἐγχωρίων,
ἔκτειν'; Ὀρέστης ἆρά που βλέπει φάος,
ὅπως κατελθὼν δεῦρο πρευμενεῖ τύχῃ,
ἀμφοῖν γένηται τοῖνδε παγκρατὴς φονεύς;
ΑΙ. ἀλλ' ἐπεὶ δοκεῖ τάδ' ἔρδειν καὶ λέγειν, γνώσει
τάχα.
ΧΟ. εἶα δή, φίλοι λοχῖται, τοὔργον οὐχ ἑκάς τόδε.
ΑΙ. * * * * * * * *
ΧΟ. εἶα δή, ξίφος πρόκωπον πᾶς τις εὐτρεπιζέτω.
ΑΙ. ἀλλὰ μὴν κἀγὼ πρόκωπος οὐκ ἀναίνομαι θανεῖν.
ΧΟ. δεχομένοις λέγεις θανεῖν σε· τὴν τύχην δ'
ἐρώμεθα.

forma tum analogiæ tum metri leges violat. Mox δυσφιλὴς κότῳ edd. vet. Correxit Stanleius δυσφιλεῖ σκότῳ. et sic Scalig. Heath. Schutz. Porson. Sed præstat, ut opinor, δυσφιλὴς σκότῳ legere cum Pearson. Voss.

1632. μαλθακόν σ' Voss.

1634. ἀλλὰ σύν, γυνὴ edd. pleræque. ἀλλὰ σὴ γυνὴ Stanl. in curis secundis. ἀλλά νιν Heath. Schutz. νιν mutatum est in νυν, quod et alibi factum, et hoc deinceps in σύν. Abreschius nihil mutandum censet.

1639. δοκεῖς edd. δοκεῖ Stanl. in curis secundis, post Auratum.

1640. 1. Hos versus Ægistho continuari vult Stanleius; dein v. 1642. Choro. v. 1643. Ægistho. Inter v. 1640. et v. 1641. lacunæ notam interposui, Hermannum secutus.

1642. ἀλλὰ κἀγὼ μὴν edd. præter Porsonum.

1643. ἐρούμεθα edd. vet. αἱρούμεθα conjecit Canter. Sic Scalig. Pauw. Abresch. Bigot. Sed recte ἐρώμεθα Schutz. *interrogemus*. Futurum Atticis usitatum fuit ἐρήσομαι.

ΚΛ. μηδαμῶς, ὦ φίλτατ' ἀνδρῶν, ἄλλα δράσωμεν κακά.
ἀλλὰ καὶ τάδ' ἐξαμῆσαι πολλὰ δύστηνον θέρος.
πημονῆς δ' ἅλις γ' ὑπάρχει· μηδὲν αἱματώμεθα.
στείχεθ', οἱ γέροντες, ἤδη πρὸς δόμους, τετρωμένους
πρὶν παθεῖν ἔρξαντας· αἴρειν χρῆν τάδ' ὡς ἐπράξαμεν.
εἰ δέ τῳ μόχθων γένοιτο, τῶνδ' ἅλις γ' ἐχοίμεθ' ἄν,
δαίμονος χολῇ βαρείᾳ δυστυχῶς πεπληγμένοι.
ὧδ' ἔχει λόγος γυναικός, εἴ τις ἀξιοῖ μαθεῖν.
ΑΙ. ἀλλὰ τούσδ' ἐμοὶ ματαίαν γλῶσσαν ὧδ' ἀπανθίσαι,

1645. *δύστηνον ὁ ἔρως* edd. vet. "*Optime Schutzius δύστηνον θέρος. Eurip. Inone Stobæi* X. *et* XCI. (XCIII. *Grot.*)" R. P. Euripidis locus est *ἔπειτ' ἀμᾶσθε τῶνδε δύστηνον θέρος.* Sic Bacch. 1314. *ἐξήμησα κάλλιστον θέρος.* Æsch. Pers. 827. *ὅθεν πάγκλαυτον ἐξαμᾷ θέρος.*

1646. *ὕπαρχε* edd. ante Porsonum. *ὑπάρχει* Scalig. Dein *μηδὲν ᾑματώμεθα* Steph. Canter. *μηκέθ' αἱματώμεθα* conj. Stanleius, post Vossium. Malim *μηδ' ἔθ' αἱματώμεθα.* Hermannus legi vult, *πημονῆς δ' ἅλις γ' ὑπάρχει μηδὲν ᾑματωμένοις.*

1647. *στείχετε δ' οἱ γέροντες πρὸς δόμους πεπρωμένους τούσδε.* Ita Steph. Canter. Stanl. *στείχεθ', οἱ γέροντες, ἤδη πρὸς δ. π.* Porson. *στείχεθ' οἵδε δ' οἱ γέροντες* Stanl. in curis secundis. Equidem librorum lectioni propius accederem, *στείχετ' ἤδη δ' οἱ γέροντες.* Heathius *πρὸς δόμους, τετρωμένους Πρὶν παθεῖν*—quod demum recepi.

1648. *πρὶν παθεῖν. ἔρξαντα καιρὸν* edd. *στέρξαντας αἰνεῖν* Heath. Butler. *πρὶν παθεῖν ἔρξαντ' ἄκαιρα,* Hermann. *ἔρξαντ' ἄκαιρον* vel *ἔρξαι τ'* Musgr. Sed non video quomodo stare possit *ἔρξαντα* in singulari. *ἔρξαντες* Flor. In loco dubio nobis quoque conjicere licuit. Eurip. El. 942. *ἡ μὲν γὰρ ἀεὶ παραμένουσ' αἴρει κακά.*

1649. *εἰ δέ τοι* edd. præter Bothe. *εἰ δέ τῳ* Aurat. *εἰ δέ τις μόχθων δέοιτο* Schutz. *δέοιτο* etiam Stanleius conjecerat, et sic, vel *μέλοιτο,* Voss.

1650. *χηλῇ* Flor. T.

1652. *τούσδε μοι* edd. *μὴ* Bigot. Stanleius in curis secundis. Idem rectius post Vossium *τούσδ' ἐμοί.* Mox *ἀκοντίσαι* Wakefield.

κἀκβαλεῖν ἔπη τοιαῦτα, δαίμονος πειρωμένους,
σώφρονος γνώμης δ' ἁμαρτεῖν, τὸν κρατοῦντα * *
ΧΟ. οὐκ ἂν Ἀργείων τόδ' εἴη, φῶτα προσσαίνειν κακόν.
ΑΙ. ἀλλ' ἐγώ σ' ἐν ὑστέραισιν ἡμέραις μέτειμ' ἔτι.
ΧΟ. οὔκ, ἐὰν δαίμων Ὀρέστην δεῦρ' ἀπευθύνῃ μολεῖν.
ΑΙ. οἶδ' ἐγὼ φεύγοντας ἄνδρας ἐλπίδας σιτουμένους.
ΧΟ. πρᾶσσε, πιαίνου, μιαίνων τὴν δίκην· ἐπεὶ πάρα.
ΑΙ. ἴσθι μοι δώσων ἄποινα τῆσδε μωρίας χάριν.
ΧΟ. κόμπασον θαρσῶν, ἀλέκτωρ ὥστε θηλείας πέλας.
ΚΛ. μὴ προτιμήσῃς ματαίων τῶνδ' ὑλαγμάτων. ἐγὼ
καὶ σὺ θήσομεν κρατοῦντε τῶνδε δωμάτων καλῶς.

1653. *δαίμονας* edd. vet. *δαίμονος* Casaub. Pears. recentiores.

1654. *σώφρονος γνώμης δ' ἁμαρτῆτον κρατοῦντα* Steph. Canter. Stanl. *ἁμαρτεῖν τὸν κρατοῦντα* * * Casaub. Heath. Schutz. Porson. *ἁμαρτῇ τὸν κρ.* Scalig. In fine versus *λοιδορεῖν* suppletur e conjectura in marg. B. Forte, *τὸν κρατοῦντα δ' ὑβρίσαι.*

1655. *προσαίνειν* Steph.

1656. Clytæmnestræ tribuitur hic versus in MS. Flor.

1661. *θαῤῥῶν* edd. ante Porson. *ὥσπερ θηλείας* edd. vet. *ὥστε* Stanl. et recentiores. Vid. Porson. ad Med. 1210.

1662. *τῶνδ' ὕλαγμα· πάντ' ἔγω* Musgr.

1663. *ἐγὼ* in fine versus supplevit ex conjectura Canter. Et sic Scholiasta; unde etiam *καλῶς* mox restituit Heath. et sic Schutz. Porson.

ΤΕΛΟΣ ΤΟΥ ΑΓΑΜΕΜΝΟΝΟΣ.

GLOSSARIUM

IN

AGAMEMNONA.

GLOSSARIUM

IN

AGAMEMNONA.

Voces, quæ asterisco notantur, non nisi apud Æschylum reperire potui.

v. 2. *Ἔτειος. *Annuus.* Jam annum excubias egerat. Sequitur Homerum, Od. Δ. 524. loco a Stanleio indicato. Τὸν δ' ἄρ' ἀπὸ σκοπιῆς Fεῖδε σκοπός, ὅν ῥα καθεῖσεν Αἴγισθος δολόμητις ἄγων, ὑπὸ δ' ἔσχετο μισθόν, Χρυσοῦ δοιὰ τάλαντα· φύλασσε δ' ὅγ' εἰς ἐνιαυτόν, Μή Fε λάθοι παριών, μνήσαιτο δὲ θούριδος ἀλκῆς. Sed apud Æschylum excubiator unus est ex Clytæmnestræ famulis, nec Agamemnona ex specula sua videt, sed flammam, Trojæ capturam nunciantem.

Ibid. Μῆχος. *Remedium.* Iliad. B. 342. οὐδέ τι μῆχος Εὑρέμεναι δυνάμεσθα. Eurip. Androm. 536. τί δ' ἐγὼ κακῶν Μῆχος ἐξανύσαιμ' ἄν; Theocrit. II. 95. χαλεπᾶς νόσω εὗρέ τι μᾶχος. ubi vid. Toup. ad Schol. Lycophr. 1459. Ὅτ' οὐδέν ἐστι μῆχος ὠφελεῖν πατράν. Herodot. II. 181. τοῦτο γάρ οἱ κακοῦ εἶναι μῆχος.

3. *Ἄγκαθεν. *Desuper.* Contractum ex ἀνέκαθεν, quod ab ἄνεκας. Lexic. Seguier. ap. Bekker. p. 337. Ἄγκαθεν. κατὰ ἀποκοπὴν ἀντὶ τοῦ ἀνέκαθεν. οὕτως Αἰσχύλος. Hesych. Ἀγρίαθεν. ἀνέκαθεν. Αἰσχύλος. ubi recte Flor. Christianus, Ἄγκαθεν. Minus bene explicat Scholiasta ἄνωθεν, ἐξ ἀρχῆς. (quo sensu interdum ponitur. Vid. Phrynich. p. 116. Thom. M. p. 79. Wessel. ad Herodot. p. 80.) Eumen. 375. ἄγκαθεν βαρυπεσῆ καταφέρω ποδὸς ἀκμάν. Choeph.

424. Ἐπασσυτεροτριβῆ χερὸς ὀρέγματα Ἄνωθεν, ἀνέκαθεν. Sed in Eumen. 80. ἄγκαθεν est ab ἀγκάς.

Ibid. **Κυνὸς δίκην.** *Ad instar canis* i. e. *vigil.*

Ibid. **Δίκην.** *Ad instar.* pro κατὰ δίκην, ut infra 48. Τρόπον αἰγυπιῶν. sic δέμας, Homer. Iliad. Σ. 1. δέμας πυρὸς αἰθομένοιο. Forte primaria vocis δίκη significatio erat *imago, similitudo.* unde δίκηλον *imago.* Vid. Hesych. in voce. Choeph. 183. ἀγγέλου δίκην. 527. παιδὸς δίκην. Infra 224. δίκαν χιμαίρας. 289. δίκην φαιδρᾶς σελήνης.

4. **Ὁμήγυρις.** *Cœtus.* Choeph. 9. γυναικῶν ὁμήγυρις. Idem fere ac πανήγυρις. Vid. Glossar. in Theb. 206.

5. **Χεῖμα.** *Hyems.* De etymologia vid. ad Pers. 573. Cf. Aratus Phœn. 265. αἱ μὲν ὅμως ὀλίγαι καὶ ἀφεγγέες· ἀλλ' ὀνομασταὶ Ἦρι, καὶ ἑσπερίαι, Ζεὺς δ' αἴτιος, εἱλίσσονται· Ὅς σφισι καὶ θέρεος καὶ χείματος ἀρχομένοιο Σημαίνειν ἐπένευσεν, ἐπερχομένου τ' ἀρότοιο.

6. **Δυνάστης.** Princeps. Vid. Valckenaerii Schol. in Nov. Test. pp. 49, 441. "Solem ac Lunam intelligit quos Virgilius sub Liberi et Cereris nomine sic alloquitur, Georg. I. 5. *vos, o clarissima mundi Lumina, labentem cœlo quæ ducitis annum.* δεσπότην κόσμου solem appellat auctor Orphic. Hymn. VII. 16." SCHUTZ. Cf. Genes. I. 16.

7. **Σύμβολον.** *Tessera. A Watch-word.* idem quod ζύνθημα. Eurip. Orest. 1129. μανθάνω τὸ σύμβολον. Vid. infra 142. 306. Cf. Theb. 345. Gloss. ξύμβολος in masculino genere occurrit Prometh. 495. Erudite de hac voce disseruit Stanleius in curis postumis.

9. **Ἁλώσιμος βάξις.** *Rumor capturam indicans.* Theb. 632. Ἁλώσιμον παιᾶν' ἐπεξιακχάσας. *Pæana capturam celebrantem.* Eundem fere sensum gerit in Soph. Philoct. 863. τὸ δ' ἁλώσιμον, ἐμᾷ φροντίδι, παῖ, Πόνος ὁ μὴ φοβῶν κράτιστος, quem locum nemo interpretum intellexit. Mediam quandam notionem inter activam et passivam habent hujusmodi verbalia in ιμος desinentia. Passive

usurpatur hæc vox in Eurip. Helen. 1638. Temen. fr. IX. 2. Xenoph. Mem. III. xi. 11. ἀλώσιμον καὶ παραμόνιμον.

Ibid. Βάξις. *Effatum.* Prometh. 684. ἐναργὴς βάξις. Sophocl. Aj. 494. βάξιν ἀλγεινήν. Apollon. Rhod. I. 8. τεὴν κατὰ βάξιν.

10. *Ἀνδρόβουλος. *Virilia ineuns consilia.* Phrynich. Appar. Soph. p. 19. huc respicit. Ἀνδρόβουλος γυνή. ἡ ἀνδρὸς βουλεύματα βουλευομένη· ἀνδρὸς δὲ τοῦ κατ' ἔπαινον λεγομένου. Sophocl. ap. Stob. LXXIII. p. 311. Grot. Κατ' ὀρφανὸν γὰρ οἶκον ἀνδρόφρων γυνή. Eurip. Orest. 1203. Ὦ τὰς φρένας μὲν ἀρσένας κεκτημένην, Τὸ σῶμα δ' ἐν γυναιξὶ θηλείαις πρέπον. Sallust. B. C. 26. *Sempronia, quæ multa sæpe virilis audaciæ facinora commiserat.* ubi vid. Wass. Vellei. Pat. I. 1. *Electra virilis animi femina.* ubi vid. interpp. Minus bene Stanleius, *Viro insidiantem.*

11. *Νυκτίπλαγκτος. *Qui noctu excitat, vel errare facit.* Infra 1321. Choeph. 522. νυκτιπλάγκτων δειμάτων. 749. Καὶ νυκτιπλάγκτων ὀρθίων κελευσμάτων.

Ibid. Ἔνδροσος. *Rore madefactus.* Vid. infra 542.

12. Ἐπισκοπέω. *Inspicio,* unde *inviso, visito.* Vid. Schleusner. Lex. N. F. in voce.

15. Μινύρομαι. *Minurio.* idem fere ac κινύρομαι. Proprie dictum de avium pullis, qui μίνυροι dicebantur. Non nisi media voce usurpatur. Aristoph. Eccl. 875. μινυρομένη τι πρὸς ἐμαυτὴν μέλος. Sophocl. Œd. C. 702. Ἔνθα λιγεῖα μινύρεται θαμίζουσα μάλιστ' ἀηδών. Callim. L. P. 119. Ὦ ἑτάρα, τῷ μή τι μινύρεο. Contra μινυρίζειν non nisi in activa voce reperiri monuit Dawes. M. C. p. 316. Ut a μινῦρος μινῦρομαι, sic a κινῦρος κινῦρομαι, de qua voce cf. Gloss. in Theb. 116. Compositum διαμινύρομαι exstat Aristoph. Thesm. 100. In hunc locum accidit observatio Scholiastæ Comici ad Nub. 718. φρουρὰς ᾄδων] οἱ φρουροῦντες ἐν τῷ πολέμῳ, διὰ τὸ παραμυθεῖσθαι αὐτῶν τὴν ἀγρυπνίαν, ᾖδον. Commode advocat Butlerus locum Lucretii V. 1404. Strabo XVI. 17. de Troglodytis, καὶ διαγρυπνοῦσι δὲ τῶν ποιμνίων χάριν, ᾠδῇ τινι χρώμενοι.

16. Ἀντίμολπον ἄκος ὕπνου. *Remedium quod contra somnum cantando fit.* Eurip. Med. 1173. Εἶτ' ἀντίμολπον ἧκεν ὀλολυγῆς μέγαν Κωκυτόν. i. e. Κωκυτόν—ὃς μέλπεται ἄντιος ὀλολυγῆς.

Ibid. Ἐντέμνω. *Medicamentum paro. Herbas concido.* "Sic in Choeph. 537. Ἄκος τομαῖον ἐλπίσασα πημάτων. Eurip. Androm. 120. εἴ τι σοι δυναίμαν ἄκος τῶν δυσλύτων πόνων τεμεῖν. ubi Schol. Τεμεῖν. ἀπὸ τῶν ῥιζοτομούντων ἡ μεταφορά. Pindar. Pyth. IV. 393. ἀντίτομα στερεᾶν ὀδυνᾶν. Schol. ἀντίτομα δὲ εἶπε τὰ ἀλεξιφάρμακα, κατὰ μεταφορὰν τὴν ἀπὸ τῶν ῥιζοτόμων. ἁπλούστερον δὲ τῇ ἰατρικῇ χρώμενοι, τὰ πολλὰ τῶν παθημάτων ῥίζαις ἀπεθεράπευον, ἃς τέμνοντες ἐπετίθεσαν, ὡς Πάτροκλος (Iliad. Λ. 846.) ἐπὶ δὲ ῥίζαν βάλε πικρήν, Χερσὶ διατρίψας.—ἀντίτομον φάρμακον est id remedium, quod secatur et paratur, ac præbetur alicui adversus morbi dolores et vim. Eurip. Alc. 982. οὐδ' ὅσα Φοῖβος Ἀσκληπιάδαις ἔδωκε Φάρμακα πολυπόνοις Ἀντιτεμὼν βροτοῖσι." Hæc notavit Stanleius. Adjice Ruhnken. ad Hom. H. Cer. 229. Jacobs. Animadv. ad Eurip. p. 36. Noster Suppl. 803. Τίν' ἀμφ' αὐτᾶς ἔτι πόρον τέμω γάμου καὶ λυτήρια. Hippocrat. περὶ εὐσχημ. p. 16, 12. μαλαγμάτων γένεα—ποτήματα τέμνειν δυνάμενα, qui locus subobscurus sic construendus videtur. Ex his patebit vis vocabuli ῥιζοτόμος, *qui medicinam ex radicibus sectis parat.* Diversas glossas male confusas habent Photius et Suidas. Τέμνουσι φάρμακον. τιμῶσιν. ἡγοῦνται. οὕτως ἄλλοι τε καὶ Ἱεροκλῆς. Unum præterea addam, in hujusmodi metaphoris nequaquam alludi ad chirurgorum cultrum, de quo vid. infra 822.

18. Διαπονούμενος. *Administratus.* διαπονεῖν est *aliquid cum labore expolire,* vel *exercere.* Exempla præbent Lexica.

20. Ὀρφναῖος. *Tenebricosus; qui in tenebris videtur.* Hesych. Ὀρφναία. σκοτεινή, μελάνη.—Ὄρφνη. σκοτία. νὺξ μέλαινα. Noster apud Aristoph. Ran. 1331. ὦ Νυκτὸς κελαινοφαὴς Ὄρφνα. Frequens apud Euripidem ὄρφνη. et νὺξ ὀρφναία Orest. 1223. Ducitur ab ἐρέφω.

21. Λαμπτήρ. *Fax. Candela.* Gloss. Philox. Λαμπτήρ, *Candela.* Vid. Choeph. 535. Soph. Ajac. 287. ἄκρας νυκτός, ἡνίχ'

ἕσπεροι Λαμπτῆρες οὐκ ἔτ' ἦθον· ubi Schol. οἱ κατ' οἰκίαν φαίνοντες λύχνοι. Sed in communi sermone significabat *laternam*. Hippocr. 2. de Morbis. p. 201, 17. ἡ δὲ γαστὴρ δίνδρος καὶ μεγάλη, ὥσπερ λαμπτήρ. ubi Galenus, ὃν οἱ πολλοὶ φανὸν ὀνομάζουσι—παρὰ μέντοι τοῖς ἄλλοις, καὶ μάλιστα τοῖς Ἀττικοῖς, ἐν ᾧ ξύλα τε κατεκαίετο παρέξοντα φῶς. ἀλλὰ καὶ ὁ δάδος καὶ ὁ λύχνος ἔστιν ὅτε λαμπτὴρ ὀνομάζεται. Pollux X. 116. ἐκαλεῖτο δὲ καὶ λαμπτὴρ ὁ λυχνοῦχος. ἐν γοῦν τῷ δευτέρῳ τῶν Φιλίστου βιβλίων εἴρηται, Καὶ τὰς νύκτας ἐπαίρεσθαι λαμπτῆρας ἀντιπεφραγμένοις· (sic legendum videtur) ὑποδηλοῖ δὲ τὸν ἐκ κέρατος φανόν. ubi vid. nott. Photius Λαμπτήρ. ὁ νῦν φανός. φανὸς δὲ ἡ ἐκ κλημάτων δέσμη. Phrynichus Appar. Soph. v. Λυχνοῦχος—Λαμπτὴρ δέ, χαλκοῦν ἢ σιδηροῦν, ἢ ξύλινον λαμπάδιον, ὅμοιον ἔχων τὴν θρυαλλίδα. (*Lychnuchum ligneolum* memorat Cicero Q. Fr. III. 7.) Photius. Λυχνοῦχον, τὸν κεράτινον φανόν—φανὸς δὲ ἡ ἐκ ξύλων λαμπάς. Φιλιππίδης. ἐγένοντο δὲ καὶ ἐκ τῶν καθαρῶν καὶ διαφανῶν δερμάτων λαμπτῆρες (ἢ) κεράμεοι διατετρημένοι. οὕτως Ἀριστοφάνης. Cf. Valckenaer. Animadv. ad Ammon. p. 146. Hemsterhus. ad Thom. Mag. p. 588. Ruhnken. ad Timæum p. 172. Eustath. ad Iliad. T. p. 1189, 23. Vid. infra 275.

Ibid. Ἡμερήσιος. *Diurnus.* Hoc sensu nescio an alibi reperiatur. Apud recentiores significat *unius diei.*

22. Πιφαύσκω. *Ostendo.* Vid. Glossar. in Pers. 668. Choeph. 277. Primam apud Homerum porrigit Il. K. 478. (sed locus medela indiget) 502.

Ibid. Κατάστασις. *Institutio.* Soph. Ajac. 1247. κατάστασις—νόμου *legis ordinatio.* Eurip. Hippol. 1291. Ἄκουε, Θησεῦ, σῶν κακῶν κατάστασιν, *constitutionem.* Quod Æschylus χορῶν κατάστασιν vocat, recentiores dixere χοροστασίαν. Callim. L. P. 66.

25. Τορῶς. *Perspicue.* Vid. ad Prometh. 626.

26. Ἐπαντέλλω. *Exsurgo.* Eadem locutione utitur Eurip. Herc. F. 1052. Κεχυμένως (εὐνᾶς) ἐπαντέλλει, et Phœniss. 105. Ποδὸς ἴχνος ἐπαντέλλων (*attollens*) Abresch. Choeph. 280. Λευκὰς

δὲ κόρσας τῇδ' ἐπαντέλλειν νόσῳ. Ceterum notavit Stanleius, media nocte captam fuisse Trojam, collatis Eurip. Hecub. 902. Virgil. Æn. II. 265.

27. **Ὀλολυγμός.** *Femineus ejulatus,* vel *lætus,* vel *luctificus.* Vid. ad Theb. 254. et adjice vv. 570. 578. hujus fabulæ. Thucyd. II. 4. *καὶ τῶν γυναικῶν καὶ τῶν οἰκετῶν ἅμα ἀπὸ τῶν οἰκιῶν κραυγῇ τε καὶ ὀλολυγῇ χρωμένων.* Synes. Ep. 164. C. *ἀνδρῶν οἰμωγή, γυναικῶν ὀλολυγή.*

Ibid. **Εὐφημέω.** *Vocem bene ominatam edo.* Vox in mysteriis usurpata. Bene illustratur a Spanhemio ad Callim. H. Apoll. 17.

28. **Ἐπορθιάζω.** *Acuta voce accino.* Infra 1088. *Ποίαν Ἐρινὺν τήνδε δώμασιν κέλει Ἐπορθιάζειν;* Pers. 1051. *Ἐπορθίαζε νῦν γόοις.* ubi vocem illustravi.

29. **Φρυκτός.** *Fax accensa.* a *φρύγω,* vel *φρύσσω.* Vid. infra ad v. 32.

Ibid. **Πρέπω.** *Conspicuus sum.* Vid. ad Pers. 244.

30. **Φροίμιον.** *Proœmium.* Vid. ad Theb. 6. De luxurie recentiorum scriptorum in tralato usu vocis *προοίμιον* vid. Schaefer. Melet. Crit. p. 29.

31. **Τὰ δεσποτῶν.** *Herorum negotia.* Eurip. Med. 52. *Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν Κακῶς πίτνοντα, καὶ φρένων ἀνθάπτεται.* Bacch. 1025. *δοῦλος ὢν μέν, ἀλλ' ὅμως Χρηστοῖσι δούλοις ξυμφορὰ τὰ δεσποτῶν.* Frequentior hic usus cum articulo nominis; *τὰ τῶν θεῶν* Eurip. Phœn. 972. *τὰ τῶν διάκονων* Sophocl. Phil. 497. *τὰ τῶν πολέων* Thucyd. III. 82. Sed sine articulo Eurip. Ion. 1570. *τὰ δαιμόνων.* Phœn. 414. *τὰ φίλων.*

Ibid. **Εὖ πεσόντα.** *Prospero successu usa.* Metaphora a talis desumpta, de qua vid. ad proximum versum. Proverbium apud Schol. quod ex Sophocle citat Scholiasta ad Eurip. Orest. 602. *Ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι.* cf. Diogenian. I. 58. et quæ dixi ad Pers. 99. v. *Εὐπετής.* Locum sic vertit Hadrian. Junius Animadv.

II. 4. ubi plura de talorum jactu; *Cecidisse res heriles prospere dabo.* Conzius vero in versione Teutonica minus recte conjunxit εὖ θήσομαι τὰ πεσόντα. Hanc figuram audacissimum vocat Hemsterhusius ad Lucian. I. p. 487. cujus observata conferas cum Valckenaer. ad Hippol. 718.

Ibid. Τίθεμαι. *Dispono.* Verbum in hujusmodi locutionibus usitatissimum, modo activa, modo media voce; et non raro cum εὖ construitur, ut in Eurip. Bacch. 49. Τἀνθένδε θέμενος εὖ. Soph. Electr. 1434. Νῦν τὰ πρὶν εὖ θέμενοι. Dionysius Æreus ap. Athen. XV. p. 669. E. Καὶ τὸ σὸν εὖ θέμενος. Homer. Iliad. B. 382. εὖ δ' ἀσπίδα θέσθω. Hesiod. Ἐργ. 23. Οἶκόν τ' εὖ θέσθαι. Soph. Œd. T. 633. Τὸ νῦν παρεστὼς νεῖκος εὖ θέσθαι χρέων. Plura ex pedestris orationis scriptoribus dedit Hemsterhus. ad Lucian. I. p. 485. Sed in hoc loco εὖ pertinet ad πεσόντα. Apprime huc facit Plato p. 755. A. a Musgravio laudatus ad Eurip. Iph. A. 1343. ὥσπερ ἐν πτώσει κύβων πρὸς τὰ πεπτωκότα τίθεσθαι. Sophocl. ap. Stob. CVIII. p. 457. Porson. ad Eurip. Phœniss. 1422. Στέργειν δὲ τἀκπεσόντα, καὶ θέσθαι πρέπει Σοφὸν κυβευτήν, ἀλλὰ μὴ στένειν τύχην. Cf. nott. ad Pers. 234.

32. Τρὶς ἕξ. Summus jactus in ludo tesserario, in quo tribus tesseris ludebatur. Photius et Suidas, Τρὶς ἕξ, ἢ τρεῖς κύβοι. οἱ μὲν τρὶς ἓξ νίκης, οἱ δὲ τρεῖς κύβοι, κενοί. καὶ τὸ παρ' Εὐριπίδῃ τοιοῦτον (Teleph. fr. XIV.) Βέβληκ' Ἀχιλλεὺς δύο κύβω καὶ τέσσαρα. τριῶν γὰρ ὄντων τῶν ἀναῤῥιπτουμένων βόλων, (Nota Grammatici senarium) δύο μὲν κενοὺς αὐτόν φησι βάλλειν, ἕνα δὲ τὸν τέταρτον—ὅτι δέ ὁ τρὶς ἓξ βαλὼν κατώρθου, καὶ Αἰσχύλος ἐν Ἀγαμέμνονι παρίστησι. Τὰ δεσποτῶν γὰρ εὖ πεσόντα θήσομαι, Τρὶς ἓξ βαλούσης τῆς ἐμῆς φρυκτωρίας. Zenob. IV. 23. ἢ τρὶς ἓξ ἢ τρεῖς κύβους.] ἡ παροιμία παρὰ Φερεκράτει ἐν Μυρμηκανθρώποις. κεῖται δ' ἐπὶ τῶν ἀποκινδυνευόντων. τὸ μὲν γὰρ, τρὶς ἕξ, τὴν παντελῆ νίκην δηλοῖ. τὸ δέ, τρεῖς κύβοι, τὴν ἧτταν. πάλαι γὰρ τρίσιν ἐχρῶντο πρὸς τὰς παιδίας κύβοις, καὶ οὐχ ὡς οἱ νῦν, δύο. ἔστι δὲ ὁμωνυμία. κύβον γὰρ ἔλεγον ἰδίως αὐτὸν τὸν ῥιπτούμενον, ὅτε πλήρης ἐστί, καὶ μή. τοὺς δὲ κύβους τὰς τοιούτους οἱ Ἴωνες καλοῦσιν οἴνας (Angl. *Pips*) καὶ τὴν παροιμίαν οὕτως ἐκφέρου-

σιν· Ἢ τρὶς ἕξ, ἢ τρεῖς οἶνας. (Cf. Photium et Suid. v. Ἢ τρὶς ἕξ.) Hunc locum etiam exhibet Schol. Platon. p. 245. sed corrigit Salmasius ad Flav. Vopisc. Procul. p. 759. κύβον γὰρ ἔλεγον διχῶς. αὐτὸ τὸ ῥιπτούμενον, καὶ ὃ πλῆρές ἐστι καὶ μή. Epicharmus Stobæi LXIX. p. 289. Τὸ δὲ γαμεῖν ὁμοῖόν ἐστι τῷ τρὶς ἓξ ἢ τρεῖς κύβους Ἀπὸ τύχης βαλεῖν. Hic jactus apud Latinos *Venus* dicebatur. Vid. Cruq. ad Horat. Carm. II. 7. 25.

Ibid. Φρυκτωρία. *Facis accensio.* Minus recte Stanleius, *Speculatio.* Hesych. Φρυκτωρία· πυρκαϊά, πυρσεία, λαμπάς, καῦσις. Harpocrat. Φρυκτωρεῖν ἐστι κυρίως τὸ διὰ πυρσῶν ἀνατεινομένων σημαίνειν ὁτιοῦν. Δείναρχος ἐν τῇ Αἰσχίνου συνηγορίᾳ κατὰ Δεινίου. Thucyd. III. 22. φρυκτοί τε ᾕροντο ἐς τὰς Θήβας πολέμιοι. παράνισχον δὲ καὶ οἱ ἐκ τῆς πόλεως Πλαταιῆς ἀπὸ τοῦ τείχους φρυκτοὺς πολλούς, πρότερον παρεσκευασμένους ἐς αὐτὸ ταῦτο, ὅπως ἀσαφῆ τὰ σημεῖα τῆς φρυκτωρίας τοῖς πολεμίοις εἴη, καὶ μὴ βοηθοῖεν. cf. c. 80. et II. 94. Ipsum morem non opus est ut illustremus. Rarius vocabulum παραφρυκτωρευόμενος, *qui hostibus indicium per ignes facit*, occurrit ap. Lysiam c. Agoracr. p. 358. ed. Auger. παραφρυκτωρεῖν Dinarch. ap. Harpocr. in voce.

33. * Εὐφιλής. *Amicabilis.* Contrarium est δυσφιλὴς *inimicus* infra 1631.

34. Βαστάζω. *Teneo. Contrecto.* Suidas Βαστάσαι δηλοῖ παρὰ τοῖς Ἀττικοῖς — τὸ ψηλαφῆσαι. Eurip. Alcest. 919. Ξύν θ' ὑμεναίοις ἔστειχον ἔσω, Φιλίας ἀλόχου χέρα βαστάζων. Cycl. 378. Δισσούς γ' ἀθρήσας, κἀπιβαστάσας χεροῖν. ubi Musgr. contulit Odyss. Φ. 405. Soph. Electr. 911. 1499. Œd. Col. 1164. (ed. Oxon.)

35. Βοῦς ἐπὶ γλώσσῃ. Proverbium notissimum de iis qui pecunia corrupti ea tacent, quæ eloqui et prodere deberent: translatum deinde ad illos, qui propter timorem sive ob mulctæ metum libere loqui non auderent. Et hanc quidem rationem hic valere, e reliquo speculatoris sermone colligitur. Cum enim fido sit in Agamemnonem animo, non profecto in eum corruptelæ suspicio cadit. Suidas. Βοῦς ἐπὶ γλώττης. ἐπὶ τῶν μὴ δυναμένων παῤῥησιάζεσθαι· ἢ

διὰ τὴν ἰσχὺν τοῦ ζώου, ἢ διὰ τὸ τῶν Ἀθηναίων νόμισμα βοῦν ἔχειν ἐγκεχαραγμένην, ὅπερ ἐκτίνειν ἔδει τοὺς παῤῥησιαζομένους. Eadem habet Hesych. Cf. etiam Polluc. IX. 62. Athen. XII. 12. e Menandri Piscatoribus, ubi quosdam exules Heracleotas induxerat, hunc versum affert: *παχὺς γὰρ ὗς ἔκειτ' ἐπὶ στόμα,* quem Casaubonus in eandem sententiam interpretatur. Schutz. Suidas, Hesychius et Zenobius eadem fere verba representant. Vid. Synes. Ep. 153. Polluc. IX. 62. Julian. Or. VII. p. 218. *τὸν βοῦν δὲ ἐπιτίθημι τῇ γλώττῃ.* Dubitari possit an ad Atheniensium nummos respexerit. Theognis 813. *Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων Ἴσχει κωτίλλειν, καίπερ ἐπιστάμενον.* Nescio an origo proverbii ex more trahenda sit, quem habuerint veteres nummos in ore tenendi, quos ex venditione mercium suarum colligerent: vid. Casaubon. ad Theophrast. p. 194. Paullo aliter, fere eodem tamen sensu, Sophocl. Œd. Col. 1051. *ὧν καὶ χρυσέα=κλεὶς ἐπὶ γλώσσᾳ βέ βακεν·* ubi vid. Schol.

38. Λήθομαι. *Obliviscor.* Interpretes ad unum vertunt *non intelligentibus lateo.* Sed in media voce nihil aliud significare potest quam *obliviscor;* ut apud Homerum, *σὺ δὲ λήθεαι.* Quare vertendum, *iis qui hæc cognita habent, lubens equidem loquor, ignorantibus* vero, *eorum quæ vidi obliviscor,* i. e. me oblitum esse fingo; quod eodem recidit ac Plautinum illud, *Næ tu hercle, si te Dii amant, linguam comprimes Posthac: etiam illud quod scies, nesciveris: Ne videris quod videris.* Vid. Gloss. in Theb. 232. Hanc interpretationem firmat Herodoti locus IV. 43. *τοῦ ἐπιστάμενος τὸ οὔνομα, ἑκὼν ἐπιλήθομαι.* Eurip. Hipp. 467. *ἐν σοφοῖσι γὰρ Τάδ' ἐστὶ θνητῶν, λανθάνειν τὰ μὴ καλά.*

39. Ἐπεί. *Ex quo. ἀφ' οὗ.* Hesych. Plena locutio videtur esse *ἐξ ἐκείνου τοῦ χρόνου, ἐπεί.* Herodot. VII. 69. *καὶ Περσέων φρουρὴ ἐν αὐτῷ κατεστήκεε ὑπὸ Δαρείου, ἐξ ἐκείνου τοῦ χρόνου, ἐπεί τε ἐπὶ Σκύθας ἐστρατεύετο.* Vid. infra 955. Choeph. 507. *ἐπεὶ μολὼν Ματρόθεν κελάδησε. ex quo, matris utero relicto, vagiit.* Pindar. Ol. I. 39. *τοῦ μεγασθενὴς ἐράσσατο γαιάοχος Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελεν Κλωθώ.* Soph. Ajac. 490. *τοιγαροῦν, ἐπεὶ Τὸ σὸν λέχος ξυνῆλθον εὖ φρονῶ τὰ σά.*

40. **Ἀντίδικος.** *Adversarius.* Gloss. vet. ἀντιδικεῖν verbum erat forense, de quo vid. Spanhem. ad Aristoph. Nub. 774.

42. * **Δίθρονος καὶ δίσκηπτρος τιμή,** dicitur de Atridis quorum uterque rex erat. Ut infra 109. δίθρονον κράτος. δικρατεῖς Ἀτρεῖδαι Sophocl. Aj. 252. βασιληΐδα τιμάν pro *imperio* dixit Euripides Hippol. 1276. ex Homer. Iliad. Z. 193. Thucyd. I. 132. ἄνδρα γένους τε τοῦ βασιλείου ὄντα καὶ ἐν τῷ παρόντι τιμὴν ἔχοντα. Πλείσταρχον γὰρ τὸν Λεωνίδου, ὄντα βασιλέα. καὶ νέον ἔτι, ἀνεψιὸς ὤν, ἐπετρόπευεν. Ceterum eodem fere modo Διόθεν interponitur Choeph. 304. Ἀλλ' ὦ μεγάλαι Μοῖραι, Διόθεν Τῇδε τελευτᾶν, Ἧ, τὸ δίκαιον μεταβαίνει. Eurip. Orest. 348. Θεόθεν πράξας ἅπερ ηὔχου. Infra 95. Πελάνῳ μυχόθεν βασιλείῳ. 129. Τοῖον μήτις ἀγὰ θεόθεν κνεφάσῃ στόμιον. Choeph. 35. Κριταὶ δὲ τῶνδ' ὀνειράτων Θεόθεν ἔλακον.

43. **Ὀχυρός.** *Validus.* Vid. nott. in Pers. 79.

Ibid. **Ζεῦγος.** *Biga. Par.* ζεῦγος et συνωρὶς de binis hominibus haud raro ponuntur. ζεῦγος φίλων, de duobus amicis, Eurip. Herc. F. 1403. Vid. Wesseling. Obs. I. 27. p. 116. Valcken. ad Eurip. Phœniss. 331. Dorvill. ad Charit. p. 469.

44. **Χιλιοναύτης.** *Mille navibus vectus.* Paullo durius dictum pro χιλιόναυν. Stanleius confert Eurip. Iph. T. 140. σὺν κώπᾳ χιλιοναύτᾳ. Androm. 106. Εἷλέ σ' ὁ χιλιόναυς Ἑλλάδος ὠκὺς Ἄρης. et Orest. 352. Monet autem hunc numerum non ad amussim esse. Homerus naves ponit 1186. quam classem Thucydides vocat χιλίων καὶ διακοσίων I. 10. ubi vid. Duker.

46. **Αἴρω.** *Suscipio.* De locutione αἴρειν στόλον vid. ad Pers. 800. Ἀλλ' εὐσταλῆ καὶ λεκτὸν ἀροῦμεν στόλον; Simpliciter αἴρειν pro *proficisci* ponitur Thucyd. II. 12.

Ibid. **Ἀρωγή.** *Auxilium.* Infra 72. Τῆς τότ' ἀρωγῆς ὑπολειφθέντες. Sophocl. Aj. 201. ναὸς ἀρωγοὶ τῆς Αἴαντος ubi vid. Musgr. Vid. Iliad. Φ. 360. Ψ. 574.

47. Ἐκ θυμοῦ. *Ex animo.* Illustratur ad Theb. 871.

Ibid. Κλάζω. *Strideo.* Vid. ad Theb. 382.

48. Αἰγυπιός. *Vultur.* οἱ μέν, εἶδος ἀετοῦ· οἱ δέ, τὸν γύπα ἐξεδέξαντο. Etymol. M. a Stanleio citatum: quæ glossa sumta fuit e Schol. ad Homer. Iliad. H. 59. ὄρνισι FεFοικότες αἰγυπιοῖσι. Ælian. N. A. II. 46. τοὺς αἰγυπιούς, ἐν μεθορίῳ γυπῶν ὄντας καὶ ἀετῶν. Soph. Ajac. 168. Μέγαν αἰγυπιὸν δ' ὑποδείσαντες. Noster vero respicere videtur partim ad Iliad. Π. 428. Οἱ δ' ὥστ' αἰγυπιοὶ γαμψώνυχες, ἀγκυλοχεῖλαι, Πέτρῃ ἐφ' ὑψηλῇ μεγάλα ΚΛΑΖΟΝΤΕ μάχονται. partim ad Od. Π. 216. Κλαῖον δὲ λιγέως, ἀδινώτερον ἤτ' οἰωνοὶ Φῆναι, ἢ αἰγυπιοὶ γαμψώνυχες, οἷσί τε τέκνα Ἀγρόται ἐξείλοντο, πάρος πετεεινὰ γενέσθαι. Moschus IV. 23. in re simili, ἡ δὲ κατ' αὐτοὺς Πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ.

Ibid. * Ἐκπάτιος. *Extra semitam.* τοῖς ἔξω τῆς ὁδοῦ Schol. Dictum volunt pro ἐκπατίων. Schol. δέον δὲ εἰπεῖν ἐκπατίων παίδων, ἐκπατίοις εἶπε, πρὸς τὸ ἄλγεσι. Vid. infra ad v. 148. Erotian. Ἐκπατίῃ. ἐκτρόπως, τὰς ὁδοὺς ἀγνοοῦντες. ubi Steph. ἐκπάτιοι. vid. Foes.

49. Ὕπατος. *Supremus.* ὕπατοι λεχέων, *supra cubilia,* durissima constructio. ὕπατος mox ponitur de Superis. et v. 492. ὕπατός τε χώρας Ζεύς. Unus e Scholiastis explicat ὕπατοι ὄντες—ἐπὶ τῶν λεχέων στροφοδινοῦνται.

50. * Στροφοδινέομαι. *In gyros circumagor.* Simile compositum est τροχοδινοῦμαι Prom. V. 907.

51. Ἐρετμόν. *Remus.* [Rarius in singulari ponitur. Odyss. Λ. 77. πῆξαί τ' ἐπὶ τύμβῳ ἐρετμόν, Τῷ καὶ ζωὸς ἔρεσσον.] Eurip. Iph. T. 289. Πτεροῖς ἐρέσσων. Anyte in Anthol. III. xxiv. 11. πυκιναῖς πτερύγεσσιν ἐρέσσων. Lucian. Timon. p. 151. ὁ μὲν ἀπελήλυθεν, ὡς δοκεῖ· τεκμαίρομαι γὰρ τῇ εἰρεσίᾳ τῶν πτερῶν. Virgil. Æn. VI. 19. *Remigio alarum.* ubi F. Ursinus contulit Plaut. Amphitryon. *Non ocius qui nisi Dædaleis me tulissem remigiis.* et Lucretii VI. 743.

Remigii oblitæ pennarum vela remittens. (similiter *remos* et *vela* conjunxit Miltonus de Satana volante P. A. II. 941. *behoves him now both oar and sail.*) Cf. Meurs. ad Lycophr. 25. Drakenborch. ad Sil. Ital. XII. 98.

51. *Δεμνιοτήρης. *Cubile servans.* Vid. Hesychius in notis citatus. Sed de vulturibus, non de pullis capiendum; quod monuit Stanleius. Infra 1423. de morbo, *μὴ περιώδυνος, μηδὲ δεμνιοτήρης.*

53. Ὀρταλίχος. *Pullus.* Diminutivum ab *ὀρταλίς.* Eustath. ad Iliad. I. p. 753, 54. *Οἱ δὲ παλαιοὶ γράφουσι καὶ οὕτως. Ὀρνίθων τὰ ἐν ὄψει ἤδη ὄντα, νεοττοί· κατὰ δὲ τίνας, ὀρτάλιχοι.* Arnaldus citat Ælian. N. A. VII. 47. *τὰ δὲ πρόσφατα ὀρνίθια (καλοῦσι) νεοττοὺς καὶ ὀρταλίχους.* Theocr. XIII. 12. *Οὐδ' ὁπότ' ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν Σεισαμένας πτερὰ ματρὸς ἐπ' αἰθαλόεντι πετεύρῳ.* Epigr. Agathiæ ap. Suid. in v. *Ὄρνιθες δροσερῶν μητέρες ὀρταλίχων.* Aristoph. Acharn. 871. *Τῶν ὀρταλίχων ἢ τῶν τετραπτερυλλίδων.* ubi Scholiasta docet *pullos gallinaceos* apud Bœotos *ὀρταλίχους* audiisse. Hesych. *Ὀρτάλιχοι. οἱ μήπω πετόμενοι νευσσοί· καὶ οἱ ἀλεκτρυόνες* Nicander Alex. 165. ovum vocat *ὀρταλίχων ἁπαλὴν ὠδῖνα.* Vid. Strattin Athenæi XIV. p. 622. A. Sophoclis locum in notis laudatum.

54. Ὕπατος. *Superus.* Vid. supra 49. " Vulturum miseretu Apollo, quia augurum Deus; Pan, quia venatorum; Jupiter, quia tyrannorum." Stanleius.

55. *Οἰωνόθροον γόον *ὀξυβόαν. i. e. *γόον ὑπ' οἰωνῶν θροούμενον ὀξείᾳ βοῇ.* De compositis ex *θρόος* vid. ad Pers. 642.

57. Μέτοικος. *Qui in aliena civitate degit.* *ὁ ἐξ ἑτέρας πόλεως μετοικῶν ἐν ἑτέρᾳ.* Harpocr. Soph. Œd. Col. 936. *Εἰ μὴ μέτοικος τῆσδε τῆς χώρας θέλεις Εἶναι βίᾳ τε κοὐχ ἑκών.* ubi Schol.—*κέχρηται δὲ καὶ Αἰσχύλος ἐπὶ τῶν οἰωνῶν ἐν τῷ Ἀγαμέμνονι, λέγων οὕτως. Τῶνδε μετοίκων. μετοίκους γὰρ εἶπε τῶν ὑψηλῶν τόπων τοὺς οἰωνοὺς*

ἐκεῖ, ἀντὶ τοῦ ἐνοίκους. ubi forsan legendum, μετοίκους γὰρ ἐπὶ τῶν ὑ. τ. τ. οἰ. λέγει, ἀντὶ τ. ἐ. Corrupte Suidas. Cf. Antig. 867. Nostri vero Scholiasta capit ἐπὶ τῶν μετοικισθέντων νεοσσῶν. Pauwius et Schutzius recte conjungunt τῶνδε μετοίκων Ἐρινύν. Eurip. Med. 1386. Ἀλλά σ' Ἐρινὺς ὀλέσειε τέκνων Φονία τε Δίκη.

Ibid. * Ὑστερόποινος. *Pœnam seriorem afferens.* Choeph. 379. Ζεῦ, Ζεῦ, κάτωθεν ἀμπέμπων Ὑστερόποινον ἄταν. Eodem sensu Nemesis dicitur ὑστερόπους in Stratonis Epigr. ap. Dorvill. ad Charit. p. 197. Toup. in Schol. Theocr. VI. 13. ὑστερόπουν ἁζόμενοι Νέμεσιν. Scriptor Orphicorum, Argon. 1167. ἐπεί νύ οἱ αἰὲν Ἐριννὺς Αἵματος ἐμφύλοιο δεδουπότος Ἀψύρτοιο Ὑστερόπους ἕπεται. Theodectes ap. Stob. Ecl. p. 123. Gr. Ὅταν δὲ φωραθῶσιν, ὀφθέντες κακοὶ, Τίνουσι ποινὰς ὑστέρυισιν ἐν χρόνοις. Nempe, quod ait Lysias contra Andocid. p. 106. ed. Auger. οὔτε ὁ θεὸς παραχρῆμα κολάζει, sed, secundum Euripidem, σῖγα καὶ βραδεῖ ποδὶ Στείχουσα, μάρπτει τοὺς κακοὺς, ὅταν τύχῃ. vid. Plutarch. de Sera N. V. p. 6. ed. Wyttenb. Horat. C. III. ii. 31. *Raro antecedentem scelestum Deseruit pede Pœna claudo.* Cui contrarium est quod alibi dixit *Culpam pœna premit comes.* Laii peccatum vocat Noster παρβασίαν ὠκύποινον Theb. 740.

58. Παραβαίνω. *Prætergredior* sc. *fines recti.* Infra 762. δίκην παραβάντες. Eumen. 766. Τοῖς τἀμὰ παραβαίνουσι νῦν ὁρκώματα. Vid. notata ad Theb. 740.

Ibid. Ἐρινύς. *Furia.* Criminum vindex in oraculo ap. Herodot. VI. 86. describitur sine pedibus et manibus; contra in Sophocl. El. 487. vocatur πολύπους καὶ πολύχειρ—χαλκόπους Ἐρινύς.

59. Κρείσσων. *Superus.* Hæc vox, de diis usurpata, illustratur ad Prometh. 935. Cf. Schaefer. Meletem. Crit. p. 31.

60. Ξένιος Ζεύς. *Jupiter hospitalis.* Prout de amicitiæ, hospitii, jurisjurandi, sodalitatis, purificandi jure agebatur, invocabatur Ζεὺς φίλιος, ξένιος vel ἐφέστιος, ὅρκιος, ἑταιρεῖος, καθάρσιος.

